www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΚΑΡΕΩΤΩΝ ΟΣΙΟΜΑΡΤΥΡΩΝ

## ΜΕΤΑ ΚΑΙ ΤΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΑΥΤΩΝ

ΕΚΔΟΣΕΙΣ «ΠΑΝΣΕΛΗΝΟΣ»
ΚΑΡΥΑΙ ΑΓΙΟΥ ΟΡΟΥΣ ΑΘΩ 1986

www.tezaurliturgic.ro

| | |
|---|---|
| Επιμέλεια Εκδόσεως: | Α. ΜΑΛΛΙΑΡΗΣ-ΠΑΙΔΕΙΑ Α.Ε.<br>ΑΓΙΟΥ ΜΗΝΑ 11, ΘΕΣΣΑΛΟΝΙΚΗ |
| Διορθώσεις κειμένων: | Δημήτρης Βαμβακάς |
| Φωτοσύνθεση: | grafomanager ο.ε. |
| Σελιδοποίηση - μοντάζ: | Κώστας Γεωργιάδης |
| Αναπαραγωγή - φιλμ: | ΡΕΠΡΟΤΕΧΝΙΚΗ Ε.Π.Ε. |

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΕΚΔΟΤΟΥ

Τὸ Ἅγιον Ὄρος, κατὰ τὴν ὑπερχιλιετῆ ἱστορίαν του, ἀνέδειξε πλῆθος γνωστῶν καὶ ἀγνώστων Ἁγίων, κατατασσομένων γενικῶς εἰς τὴν τάξιν τῶν Ὁσίων. Πλὴν ὅμως, ὁ Μοναχισμὸς ἀνέκαθεν ἐθεωρεῖτο ὑπὸ τῆς Ἐκκλησίας ὡς ὁδὸς μαρτυρίου, τοῦ μαρτυρίου τῆς συνειδήσεως. Καὶ ὁ ἁγιορειτικός μοναχισμός ἔχει νὰ ἐπιδείξῃ παλαιοὺς καὶ νεωτέρους πύκτας τοῦ Πνεύματος, συνεχιστὰς τῆς πρωτομαρτυρικῆς ὁδοῦ, κατὰ τὸν ἅγ. Ἰωάννην τῆς Κλίμακος.

Ἀλλ' ηὐδόκησεν ὁ Θεὸς νὰ συγκαταριθμῶνται εἰς τοὺς Ἁγιορείτας Ἁγίους καὶ μάρτυρες τοῦ αἵματος. Ἐκτὸς τῶν εὐαρίθμων Ὁσιομαρτύρων τῆς περιόδου τῆς Τουρκοκρατίας, ἔχομεν καὶ τοὺς πρὸ αὐτῶν μαρτυρήσαντας ποικιλοτρόπως κατὰ τὸν γενόμενον διωγμὸν ἐπὶ Μιχαὴλ Η΄ Παλαιολόγου καὶ Ἰωάννου Βέκκου Ἁγίους Πατέρας. Τινὲς νεώτεροι ἱστορικοὶ ὡμίλουν ὡς περὶ μὴ γενομένου οὐδέποτε τοιούτου διωγμοῦ καὶ ἐθεώρουν τὴν ὅλην ἱστορίαν πλασματικὴν καὶ φανταστικήν.

Ἡ μακραίων ὅμως στοματικὴ παράδοσις τῶν Ἁγιορειτῶν, μεταδιδομένη ἀπὸ γέροντος εἰς ὑποτακτικόν, ἀπεδείχθη ἀληθεστέρα τῶν «ἱστορικῶν». Ἕως τοῦ Νοεμβρίου τοῦ 1981, ἐδείκνυντο ὡς ἄγλωττα, πλὴν φωνοῦντα, μνημεῖα τοῦ ὡς ἄνω διωγμοῦ, εἰς τὰς Καρυάς, ἡ μαρμαρίνη πέτρα εἰς τὴν ὁποίαν ἐκαρατομήθησαν οἱ Καρεῶται Πατέρες ὡς καὶ ὁ τάφος τοῦ μαρτυρήσαντος –ἀγνώστου ὀνόματος– Πρώτου, σῳζόμενος εἰς τὴν δεξιὰν γωνίαν τοῦ νάρθηκος τοῦ Ἱεροῦ Ναοῦ τοῦ Πρωτάτου. Ἐπί αἰῶνας ἔκαιεν ἄνωθεν αὐτοῦ ἀκοίμητος ἡ κανδήλα, ἡ κανδήλα τῆς πίστεως εἰς τὴν Παράδοσιν τῶν Πατέρων.

www.tezaurliturgic.ro



Ἡ Ἱερὰ Κοινότης τοῦ Ἁγίου Ὄρους, ὑπείκουσα εἰς τὴν φωνὴν πολλῶν εὐλαβεστάτων γερόντων καὶ μοναχῶν, πρωτεύοντος τοῦ μακαρίτου Προηγ. Ματθαίου Βατοπαιδηνοῦ, ἐνήργησε τὴν ἀνασκαφὴν τοῦ προρρηθέντος τάφου. Ρίγη συγκινήσεως κατέλαβον τοὺς προστρέξαντας Πατέρας καὶ λαϊκούς, ἀναμένοντας ἀγωνιωδῶς τὴν ἔκβασιν τοῦ ἀναληφθέντος ἐγχειρήματος, ἐπὶ τῇ θέᾳ τῶν ἀνευρεθέντων εἰς ἀρκετὸν βάθος τιμίων λειψάνων τοῦ Ὁσιομάρτυρος Πρώτου. Ἡ εὕρεσις τῶν ἁγ. λειψάνων ἐγένετο γνωστὴ ἀμέσως εἰς ἅπαν τὸ Ἅγιον Ὄρος, προκαλέσασα βαθυτάτην συγκίνησιν.

Ἐκ τῶν καταλοίπων τοῦ ἀοιδίμου γέρ. Ἀρκαδίου Βατοπαιδηνοῦ ἐμάθομεν περὶ τοῦ νέου Ὁσιομάρτυρος Πρώτου, ὅτι τὸ μοναχικόν του ὄνομα ἦτο Κοσμᾶς καὶ προήρχετο ἐκ τῇ μονῆς τοῦ Πλακᾶ ἢ Πλακέως.

Πλὴν τοῦ λιτοῦ διστίχου τοῦ ὁσίου Νικοδήμου εἰς τὸν Συναξαριστὴν τῆς ε΄ Δεκεμβρίου, ἐν ᾗ σημειοῦται ἁπλῶς ἡ μνήμη τῶν Καρεωτῶν Ὁσιομαρτύρων ἐπὶ Βέκκου, ἕτερόν τι ὑμνογραφικὸν ποίημα δὲν εἶναι γνωστόν, τοὐλάχιστον ἕως σήμερον. Διό, εἰς πλήρωσιν τοῦ κενοῦ, ἀλλὰ καὶ ἐκ τῆς ἐπιτακτικῆς ἀνάγκης νὰ γίνῃ ἡ προσήκουσα, πρῶτον, ἀνακομιδὴ τῶν ἁγ. λειψάνων τοῦ ἁγίου Κοσμᾶ καί, εἶτα, ὁ ἐπίσημος κοινὸς ἑορτασμὸς πάντων τῶν Καρεωτῶν Ὁσιάθλων Πατέρων, ἀπεφασίσθη ὑπό Καρεωτῶν Γερόντων, τῇ εὐλογίᾳ τῆς Ἱερᾶς Κοινότητος, καὶ ἀνετέθη εἰς τὸν ἱερομ. Ἀθανάσιον Σιμωνοπετρίτην ἡ σύνταξις ἀσματικῆς ἀκολουθίας καὶ Παρακλητικοῦ Κανόνος.

Παραδίδοντες εἰς τοὺς ἀγαπητοὺς ἐν Χριστῷ ἀδελφοὺς τὰς ἱερὰς ἀκολουθίας αἰσθανόμεθα ἰδιαιτέραν χαρὰν διότι οὕτω ἐκπληροῦται τὸ ὀφειλόμενον χρέος ἔναντι τῶν Ἁγίων Ὁσιομαρτύρων καὶ δὴ τοῦ Ἁγίου Κοσμᾶ, τοῦ ὁποίου τὰ τίμια Λείψανα εἴχομεν τὴν εὐλογίαν, ὡς τότε Καμπανάρηδες τοῦ Πρωτάτου, ἰδίαις χερσὶ νὰ ἀνακομίσωμεν καὶ δεόντως νὰ τακτοποιήσωμεν.

Ἐπὶ τούτοις, ἐκζητοῦντες ταπεινῶς τὴν εὐλογίαν τῆς Κυρίας ἡμῶν Θεοτόκου καὶ τῶν Καρεωτῶν ἐνδόξως ἀθλησάντων Πατέρων, ἐπὶ πάντας τοὺς εὐλαβουμένους καὶ τελοῦντας τὴν ἱεράν των μνήμην καὶ διατελοῦμεν

Μετὰ πολλῆς τῆς ἐν Χριστῷ φιλαδελφίας
Ἱερομόναχος Κύριλλος Καρεώτης
ἐκ τοῦ Κελλίου Ἅγιος Νικόλαος τοῦ Χαλκιᾶ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΗΣ ΤΕ ΚΑΙ ΠΑΝΗΓΥΡΙΚΗ ΤΩΝ ΚΑΡΕΩΤΩΝ ΟΣΙΑΘΛΩΝ ΟΜΟΛΟΓΗΤΩΝ ΠΑΤΕΡΩΝ ΤΩΝ ΕΠΙ ΒΕΚΚΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ

www.tezaurliturgic.ro

# Τῇ ε΄ τοῦ μηνὸς Δεκεμβρίου, μνήμην ἐπιτελοῦμεν τῶν ἐν Καρυαῖς τὴν ὀρθόδοξον πίστιν ὁμολογησάντων καὶ ὑπὲρ αὐτῆς ἀθλησάντων θεοφόρων Πατέρων ἡμῶν ἐπὶ Βέκκου.

## ΕΝ ΤΩι ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

### Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὁ Ἄθως χαίρει προφρόνως τῆς συνειδήσεως, τὸ στάδιον τὸ μέγα, ἁγιότητος ὄντως, καὶ τῆς Ὀρθοδοξίας ἡ κιβωτός, τῶν δογμάτων προπύργιον, ἐπὶ τῇ μνήμῃ Πατέρων Καρεωτῶν, Ὁσιάθλων τῶν τῆς πίστεως.

Ἐντεθραμμένοι Πατέρων, ταῖς παραδόσεσιν, Ὀρθοδοξίας νᾶμα, εὐλαβῶς ἐκπιόντες, ἀκρίβειαν τηροῦντες σὺν τῷ Κοσμᾷ, Καρεῶται ὁμόαθλοι, ὡμολογήσατε πίστιν τὴν ἀληθῆ, διὸ πάντες ὑμᾶς σέβομεν.

Νίκην διπλῆν κατορθώσαντες Ὁσιόαθλοι, στέφος διπλοῦν τῆς δόξης, ἐκομίσασθε πάντες, ὡς κάρυα Παρθένου πνευματικά, ὑπ᾽ Αὐτῆς νῦν συνήχθητε, εἰς Βασιλείαν αἰώνιον εἰς χαρᾶς, τὰ σκηνώματα τὰ ἄφθαρτα.

Δόξα καὶ πλοῦτος καὶ καύχημα ἀνεδείχθητε, Πατέρες θεοφόροι, Ἄθω Ὄρους τοῦ θείου, ἡμῶν δὲ τῶν οἰκούντων ἀναψυχή, ἀρετῆς ἐκμαγεῖά τε, καὶ πρεσβευταὶ ἀεννάως πρὸς τὸν Θεόν, ἵνα εὕρωμεν τὸ ἔλεος.

www.tezaurliturgic.ro



### Δόξα. Ἦχος β΄.

Οἱ τὸ Ὄρος οἰκοῦντες τῆς ἁγιότητος δεῦτε, ἐπὶ τῇ μνήμῃ τῶν Ὁσιάθλων Καρεωτῶν Πατέρων τὰς χεῖρας κροτήσωμεν, καὶ ᾠδαῖς πνευματικαῖς τὸν τούτους χαριτώσαντα Κύριον δοξάσωμεν, λέγοντες πρὸς Αὐτόν· Κύριε, ὁ τὴν ὑπομονὴν καὶ τὴν ὁμολογίαν τῶν Πατέρων δεξάμενος, δέχου καὶ τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν τούτων, ὅπως τύχωμεν τῆς Βασιλείας σου.

### Καὶ νῦν... Ὁ αὐτός.

Τὴν πᾶσαν ἐλπίδα μου...

Εἰς τὰ ἀπόστιχα.

### Στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ξύλου τοῦ τῆς Ζωῆς, τυχόντες Θεοφόροι, διὰ τῆς μαρτυρίας, ποιήσατε ἀξίους, ἡμᾶς τῆς θείας κλήσεως.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Ἅρμα εἰς φωτεινόν, συνήφθητε Πατέρες, ξίφεσιν ἐκτμηθέντες, ἀγχόνῃ τε δὲ ἄλλοι, Χριστὸν ὁμολογήσαντες.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ζῆτε ἀεὶ σοφοί, οἱ δίκαιοι γὰρ ζῶσι, σὺν τῷ Θεῷ ἀλήκτως, μετέχοντες τῆς δόξης, ἣν αἵμασιν ὠνήσασθε.

### Δόξα. Ὁ αὐτός.

Ὅτε σκότος δεινόν, Πατέρες ἀνατεῖλαν, ἠπείλει συγκαλῦψαι, Χριστοῦ τὴν Ἐκκλησίαν, Τριάδα ἐδοξάσατε.

### Καὶ νῦν... Θεοτοκίον.

Μέμνησο ἡ ἐλπίς, τοῦ κλήρου σου πρεσβείαις, τῶν Ὁσιάθλων τούτων, ὧν λείψανα κατέχει, ναός σου ὁ περίκλυτος.

www.tezaurliturgic.ro



Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν.

### Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Εὐφραινέσθω ὁ Ἄθως, κιβωτὸς ἁγιότητος, τῆς Παρθενομήτορος κλῆρος, ὡς βλαστήσας ἐκθρέμματα ἐνδόξους Καρεώτας ἀθλητάς, τῆς πίστεως τοὺς Ὁμολογητάς, τὸν Κοσμᾶν τὸν θεοφόρον, καὶ τὴν πληθὺν τὴν σὺν αὐτῷ ἀθλήσασαν. Δόξα βοῶν Σοι ὁ Θεός, δόξα Τριὰς ὑπέρθεε, δόξα ὅτι ἠξίωσας αὐτούς, τῆς μαρτυρίας τεύξασθαι.

### Δόξα. Καὶ νῦν... Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι...

Καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

### Ἦχος α´. Ὢ τοῦ παραδόξου θαύματος.

Νέα καὶ φαιδρὰ πανήγυρις! Δεῦτε συνελθόντες, Ἀθωνῖται ᾄσμασι, τιμήσωμεν εὐλαβῶς τὸ θεῖον σύστημα, Πατέρας τῶν Καρυῶν, Κοσμᾶν τὸν Πρῶτον καὶ πληθὺν τὴν ἀνώνυμον, ὡς τράπεζαν γὰρ ἡμῖν, ὁμολογίαν παρέθεντο κράζουσι· δόξα σοι Θεὲ τῶν ὅλων ὁ ἐνδοξαζόμενος, καὶ τὴν δόξαν δεικνύων, ἐν ταῖς μνήμαις τῶν Ἁγίων σου.

Ὄρος τοῦ Θεοῦ τὸ Ἅγιον, Ὄρος θεῖον πῖον, Ὄρος πανσεβάσμιον, εὐφραίνου καὶ ψαλμικῶς ὡσπερεὶ ἔλαφος, ἐκδίψασον δαψιλῶς ἐκ τῶν αἱμάτων υἱῶν σου καὶ πρόσβλεψον, πῶς οὗτοι θεοφιλῶς, τμηθέντες ξίφει στεφάνους ἐδέξαντο, τοὺς τῆς μαρτυρίας καὶ ἡμῖν γεγόνασιν, εὐαγγέλια ζῶντα, καὶ ἀλεῖπται πρὸς τὴν ἄσκησιν.

Σκήτη Καρυῶν ἐβλάστησας, θεοφόρους ἄνδρας, οὕς περ ὡς θυμίαμα, ἀνέθηκας λογικόν, εἰς μαρτυρίου πυράν, καὶ τούτων ταῖς ἐκπνοαῖς, τὴν Ἐκκλησίαν ὀσφραίνεις χαρμόσυνα, ἐξαίρετον δὲ ἡμᾶς, τοὺς κατοικοῦντας τὸ Ὄρος τὸ Ἅγιον, οἳ ὁμοῦ ᾠδαῖς καὶ ὕμνοις, τὸν Θεὸν δοξάζομεν, τὸν δοξάσαντα τούτους, καὶ ἡμᾶς ἐξαγιάζοντα.

Θῦσον τῷ Θεῷ αἰνέσεως, ἑκατόμβην θῦσον ὁ τῆς Θεομήτορος, ὁ οἶκος ὁ εὐκλεής, ὁ τοῦ Πρωτάτου φαιδρῶς, συνῆξας γὰρ αἰσθητῶς, σοὺς θεμελίους ποτίσαντας αἵμασιν, οἰκεῖν τε ὡς κιβωτῷ, ἐν σοὶ καὶ σκέπην σου ἔχειν τὴν πάντιμον, ἄχρις οὗ ὁ δόξης Κύριος ἐλεύσεται, καὶ βραβεῖα καὶ στέφη, ἀποδοῦναι τὰ ἐπάξια.

www.tezaurliturgic.ro



## Ἕτερα προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐκαρδίωσας Κύριε, τὴν πληθὺν τῶν Ὁσίων σου, ὄντως ἐκαρδίωσας καὶ κατέφλεξας, ἅπαν ὑλῶδες προσκίρτημα, καὶ τούτους ἀνέδειξας πορφυροῦς ὡς οὐρανούς, διὰ ξίφους τὸ ἔνδυμα τὸ γαμήλιον, ἐνδυθέντας καὶ οὕτως ἐπαξίως, εἰς τὸ Δεῖπνον Βασιλείας, τῆς σῆς εἰσάξας Πανάγιε.

Ὁ Κοσμᾶς ὁ τῆς Σκήτεως, Καρεῶν ὁ ὑπέρτιμος, ὥσπερ τις Χριστόσφακτος κριὸς δέδεικται, οὐ μόνον Πρῶτος τῷ χρίσματι, ἀλλὰ καὶ ταῖς πράξεσιν γεγονὼς ὡς ἀληθῶς, τῦπος πᾶσι θεόγραφος διὰ αἵματος, γεγραφὼς τὴν Χριστοῦ ὁμολογίαν, ὅτι ἔξω Ἐκκλησίας, ἡ σωτηρία ἀδύνατος.

Στηλογράφοι ἱδέτωσαν ψαλμικοὶ τοὺς ἀθλήσαντας, καὶ ἐκδειματώσαντας πλάνην δύσθεον, λατινοφρόνων μὴ ἔχουσαν, πατρόθεν τὸ σύμφωνον, καὶ εἰσάγουσαν διπλῆν, τὴν ἀρχὴν ἐν Θεότητι, ὅπερ ἄθεσμον· ὅθεν πέτρᾳ τμηθέντες τοὺς αὐχένας, Βασιλείαν χαρμοσύνως, ἐκληρονόμησαν ἅπαντες.

Διδαχαῖς ἀνετράφητε, ὀρθοδόξοις Μακάριοι, καὶ καρπὸν ὀρθόδοξον ἐξεφέρατε, μὴ τὴν κακότεχνον ἕνωσιν, δεξάμενοι Ὅσιοι, ἀληθείας ἐρασταί, τὰς βουλὰς διελύσατε καὶ ἐν αἵμασιν, ἐστομώσατε τῆς κακοδοξίας, τὴν ψυχώλεθρον πλημμύραν, ὦ Καρεῶται θεόστεπτοι.

## Δόξα. Ἦχος πλ. β΄.

Ὅτε βαρὺ τῆς αἱρέσεως τὸ σκότος, τὴν οἰκουμένην καταλῦψαι ἠπείλει, τότε ὑμᾶς ὁ τῆς Ἀληθείας ἥλιος νοητός, Χριστὸς ἡ αὐτοαλήθεια, δεύτερα φῶτα ἀναδείξας, Πατέρες Καρεῶται, καὶ τῆς ὁμολογίας ἀξιώσας τῆς σεπτῆς, τοῖς πεπλανημένοις καὶ ὑπὸ τῆς πλάνης κλονουμένοις, ὁδηγοὺς Ὀρθοδοξίας κατέστησε. Οὐ γὰρ ἐδέχθητε ὑμεῖς τὴν τῶν Ἰταλῶν ἑτεροδιδασκαλίαν, ἀλλὰ τοῖς πατρικοῖς ζωηροῖς διδάγμασιν ἑπόμενοι, τὸ ἀνθρωποσωτήριον θεῖον δόγμα ἀνεκηρύξατε. Καὶ ἐκ τῆς Πέτρας τῆς ἀληθινῆς ποτισθέντες, ἐν πέτρᾳ ἐναπετμήθητε. Ὢ τῆς καλῆς ὑμῶν ἐμπορίας ὁμόστοχοι Ὁμολογηταὶ καὶ τῆς θεαρέστου ἀ-

www.tezaurliturgic.ro



θλήσεως! Καὶ νῦν τυχόντες τῆς ἀκλινοῦς καὶ ἀτρέπτου οὐρανίου δόξης, πρεσβεύσατε τῷ ἐν Τριάδι Θεῷ, ὅπως χαρίζηται ἡμῖν τῆς ἀληθοῦς πίστεως τὴν χάριν, καὶ τῇ Ἐκκλησίᾳ Αὐτοῦ τὴν εἰρήνην τὴν ἀσάλευτον.

## Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν· φάτνη δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς· ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τό φρικτόν· καὶ μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρνα, τῷ Βασιλεῖ προσάξατε. Ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός, Ὅνπερ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα (κεφ. λβ΄, 1 - 9)

Τάδε λέγει Κύριος· μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα καὶ οἰκείους ἐν Ἱερουσαλήμ. Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν. Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου. Καὶ φανήσεται ἐν Σιὼν ὡς ποταμὸς καὶ φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ. Καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλὰ τὰ ὦτα δώσουσιν ἀκούειν. Καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τοῦ ἀκούειν, καὶ αἱ γλῶσσαι ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην. Καὶ οὐκέτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου· σίγα. Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν τοῦ διασπεῖραι ψυχὰς πεινώσας καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιῆσαι. Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει. Οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μενεῖ.

www.tezaurliturgic.ro



## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα (κεφ. ξγ΄, 15 - 19 καὶ ξδ΄, 7 - 11)

Ἐπίστρεψον Κύριε, ἐκ τοῦ οὐρανοῦ καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης. Ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστιν τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου; ὅτι ἀνέσχου ἡμῶν; σὺ γὰρ ἡμῶν εἶ πατήρ, ὅτι Ἁβραάμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σύ, Κύριε, πατὴρ ἡμῶν. Ρῦσαι ἡμᾶς, ἀπ᾿ ἀρχῆς τὸ ὄνομά σου ἐφ᾿ ἡμᾶς ἐστίν. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας ἡμῶν τὰς καρδίας τοῦ μὴ φοβεῖσθαί σε; ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Ἐγενόμεθα ὡς τὸ ἀπ᾿ ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ᾿ ἡμᾶς. Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σύ, ἡμεῖς δὲ πηλὸς ἔργον τῶν χειρῶν σου πάντες. Μὴ ὀργίζου ἡμῖν σφόδρα καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον, ὅτι λαός σου πάντες ἡμεῖς. Πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, Σιὼν ὡς ἔρημος ἐγενήθη, Ἱερουσαλὴμ εἰς κατάραν. Ὁ οἶκος, τὸ ἅγιον ἡμῶν, καὶ ἡ δόξα, ἣν ηὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἔνδοξα συνέπεσεν. Καὶ ἐπὶ πᾶσι τούτοις ἀνέσχου Κύριε, καὶ ἐσιώπησας καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (κεφ. γ΄, 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ. Ὅτι χά-

www.tezaurliturgic.ro



ρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν πρῶτον τὸ τοῦ Ναοῦ ἰδιόμελον καὶ εἶτα τὰ παρόντα τῶν Ὁσιομαρτύρων.

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ θεοσκέπαστος Σκήτη τῶν Καρεῶν, ἡ τοῦ Ἄθω ἄρχουσα· ἔχεις γὰρ εὐφροσύνης ὡς αἰτίαν, τὴν τῶν τέκνων σου καρατομίαν, καὶ τὴν μαρτυρικὴν ὁμολογίαν αὐτῶν. Μὴ φέροντες ἑνοῦσθαι τὰ τῇ αἱρέσει μεμολυσμένα τῇ Καθολικῇ Ὀρθοδοξίᾳ, ἤλεγξαν παρανομήσαντας, τόν τε αὐτοκράτορα καὶ τὸν πατριάρχην, τύποι ἀληθοῦς πίστεως γενόμενοι, τοῖς δὲ τῷ Ὄρει τούτῳ ἀσκουμένοις, χαρὰ καὶ ἀγαλλίασις.

### Ἦχος β΄.

Τὴν προδρομικὴν φωνήν, οὐκ ἔξεστί σοι βασιλεῦ, ἀναλαβόντες, λατινοφρονήσαντα τὸν ἕως τότε ὀρθοδοξοῦντα αὐτοκράτορα ἠλέγξατε· καὶ ὡς τίμημα τῆς θερμουργοῦ ὑμῶν παρρησίας, τὸ μαρτύριον ἐλάβετε, οἱ ἐσταυρωμένοι τῷ Χριστῷ. Ὅθεν σήμερον, τὴν πανσεβάσμιον σύναξιν ὑμῶν τελοῦντες δοξάζομεν Θεόν, τὸν ὑμᾶς καθαγιάσαντα.

### Ἦχος γ΄.

Τὴν τῆς πίστεως παρακαταθήκην κληρονομήσαντες, Ἅγιοι Πατέρες, ὡς κλῆρον πολυτίμητον καὶ ψυχῶν σωτήριον ἡμῖν κατελίπετε, διὰ τοῦ ὑπὲρ αὐτῆς ἐκχυθέντος τιμίου ὑμῶν αἵματος καθυπογράψαντες. Εὐγνωμονοῦντες οὖν ὑμᾶς, τὴν σεπτὴν ὁμολογίαν ἀνακηρύττομεν καὶ τὴν λαιμητόμησιν τιμῶντες, τὸν Κύριον δοξάζομεν.

www.tezaurliturgic.ro



### Ἦχος δ΄.

Οὐ γὰρ ὁ φαινόμενος χρυσός, χρυσός ἐστι τῇ ἀληθείᾳ, ὥς τοῦτο καὶ οἱ τῷ ἁγίῳ ὀνόματι τῆς ἀδελφότητος ἐπώνυμοι ἰταλοφρονοῦντες ἐφ' ὑμῖν ἀπέδειξαν. Ῥίψαντες γὰρ τὸ τῆς ὑποκρίσεως προσωπεῖον, ὡς λύκοι βαρεῖς τὴν συμφωνίαν ἐν οἷς ἀδύνατον ἦν ὑμᾶς ὁμονοῆσαι ἀπῄτησαν καὶ πολλαῖς βασάνοις καθυποβαλόντες, ἄλλους μὲν ξίφει πικρῶς ἀπέτεμον, ἑτέρους δὲ τῇ ἀγχόνῃ ἀπῃώρησαν. Πάντας δὲ πάντως εἰς οὐρανούς, εἰ καὶ ἀθελήτως, προήγαγον. Ἐκεῖθεν ἡμᾶς ἐποπτεύοντες, Ὅσιοι καὶ Μάρτυρες Πατέρες, πρεσβεύετε ἐκτενῶς, ἵνα ρυσθῶμεν τῆς κολάσεως.

### Δόξα. Ἦχος πλ. α΄.

Τῆς ἀγάπης διὰ τὴν αἵρεσιν ψυγείσης, καὶ τῆς ἀληθείας διὰ τὴν πλάνην κατανοθευθείσης, ὑμεῖς Πατέρες Ὅσιοι, ἀντίδοτα ζωῆς ἐφάνητε. Καὶ ὑπὲρ πᾶν τι ἄλλο τὸν Χριστὸν ἀγαπήσαντες, καὶ τὸ ὀρθόδοξον δόγμα ὁμολογήσαντες, σφάγια ὁλοκαυτώσεως Αὐτῷ προσηνέχθητε ὑπὸ τῶν ψευδαδέλφων, ὧν τὸ τέλος ἀπώλεια. Χαίρομεν οὖν ὑμᾶς μνημεῖα κατέχοντες τῆς πίστεως ἔμψυχα καὶ τὸν ἐν Τριάδι Θεὸν εὐφροσύνως δοξάζομεν.

### Καὶ νῦν.. Ὁ αὐτός.

Μακαρίζομέν σε Θεοτόκε...

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

### Στιχηρὰ προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Καρεῶν ἡ σεπτή, ἀρχαία Σκήτη Θεοτόκου τὸ σκήνωμα, καὶ χαίρουσα ὕμνους ᾆσον τῷ ἐν Τριάδι Θεῷ, ὅτι πλῆθος ὅλον σοι ἐδωρήσατο, Μαρτύρων τοῦ αἵματος, ἀληθείας ὀχύρωμα, ὀρθῶν δογμάτων, θεολόγους καὶ κήρυκας, καὶ τῆς πίστεως ἀθλητὰς καὶ καυχήματα. Τούτους ὡς πρέσβεις ἔχουσα, καὶ τεῖχος ἀκλόνητον, Ὀρθοδοξίας

www.tezaurliturgic.ro



πορφύραν ἐνδυσαμένη ἐκβόησον· Χριστὲ σὺ ἡ δόξα, τῶν Πατέρων μου ἡ θεία καὶ ἡ αἰώνιος.

Στίχ. Συναγάγετε αὐτῷ τοὺς Ὁσίους αὐτοῦ.

Χαίροις ἡ φυραθεῖσα Χριστῷ, ζύμη Πατέρων καὶ ὡς ἄρτος ἡδύτατος, ἐν πέτρᾳ ἄλλῃ τραπέζῃ, κατακοπέντες ὁμοῦ, καὶ παρατιθέντες ὥσπερ ἥδυσμα, πιστοῖς μὴ δεξάμενοι, ἀζυμίτου τὸ φρόνημα, τὸ ἄθεσμόν τε παρεμβόλιμον δίδαγμα, τούτῳ λέγοντες, οὐ δυνάμεθα δέσποτα, ἄλλως πιστεύειν ἴδε γάρ, συμβόλου τῆς πίστεως, τὴν παραχάραξιν ἴδε, καὶ μὴ ἀνάγκαζε ψεύδεσθαι· Τριάδος ἡ δόξα, ἐν Χριστοῦ τῇ Ἐκκλησίᾳ, καὶ οὐχ εἰς αἵρεσιν.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Χαίροις Πρῶτε Κοσμᾶ ἀθλητά, χοράρχα θεῖε Καρεῶν ἐγκαλλώπισμα, ὑπὲρ γὰρ τοῦ ἐπὶ ξύλου, ἀναρτηθέντος Χριστοῦ, ἐπὶ ξύλου Πάτερ καὶ σὺ ᾔρτησαι, προκρίνας τὸν θάνατον, ἢ τῷ ψεύδει συμφύρεσθαι, ἐλάχιστός τε ἀπὸ πρώτου γενόμενος, ὅθεν Κύριος σὲ ἐδόξασεν Ἅγιε. Πρέσβευε παμμακάριστε, σὺν δήμῳ συνάθλων σου, ἵνα κρατῶμεν ἀξίως, τὰ τῶν πατέρων διδάγματα, καὶ τούτοις κανόνι, κεχρημένοι ἀσφαλείας, ψυχὰς ἐκσῴσωμεν.

## Δόξα. Ἦχος πλ. δ΄.

Θυσία τῷ Θεῷ οὐκ ἀπὸ προβάτων ἀλλ' ἀπὸ ἰσαγγέλων Πατέρων· οὐκ ἐν θωμῷ καὶ θυσιαστηρίῳ μωσαϊκῷ, ἀλλ' ἐν τῷ θεομητορικῷ περιβόλῳ· ἀντὶ βοῶν ἀτάκτων καὶ φωνῶν βοείων, αἶνος εὐχαριστήριος καὶ δοξολογία μαρτυρικὴ θεοδίψαστος· ἀντὶ ἱερέων νομικῶν, σφάκται ψευδάδελφοι· ἀντὶ πυρὸς ὁλοκαυτώσεως, πῦρ καταφλέξαν τὸν τοῦ Πρωτάτου πανεύφημον ναόν. Ὅμως, Κύριε, Κύριε, ἐξ οὐρανοῦ ἐπίβλεψον καὶ δὸς ἑκάστῳ τὸ ὄφλημα, ἡμῖν δὲ ζωὴν αἰώνιον, ταῖς ἱκεσίαις τῶν Ἁγίων σου.

www.tezaurliturgic.ro



## Καὶ νῦν... Θεοτοκίον, προεόρτιον.

Ὑπόδεξαι Βηθλεὲμ τὴν τοῦ Θεοῦ μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισσόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοὴ αἰνεσάτῳ τὸν Παντουργέτην.

Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Τὸ ἀπολυτίκιον, ὡς ἐν τῷ μικρῷ ἑσπερινῷ, δὶς καὶ τό, Θεοτόκε Παρθένε ἢ τό, Τοῦ Γαβριὴλ φθεγξαμένου σοι.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἐκ Πέτρας μὲν Μωσῆς, τοῦ λαοῦ δίψαν παύει, ἐκ πέτρας δὲ ὑμεῖς, ρεῖθρα χέντες αἱμάτων, ποτίζετε ἅπασαν, Ἐκκλησίαν μακάριοι, ὡς γὰρ Πνεύματος, πεπληρωμένοι τὸ ὕδωρ, τὸ ἀλλόμενον, ἡμῖν πηγάζετε ὄντες, κρουνοὶ πνευματόρρυτοι.

**Δόξα. Ὅμοιον.**

Ὁ κόσμος ὁ λαμπρός, Ἐκκλησίας ὁ Πρῶτος, Κοσμᾶς σὺν τοῖς λοιποῖς Ὁσιάθλοις Πατράσιν, ἡμᾶς συνεκάλεσαν καὶ ὡς ἄριστον προὔθηκαν, τὴν χαρμόσυνον καὶ εὐκλεᾶ αὐτῶν μνήμην, τὸ μαρτύριον ὁμολογίαν τὴν θείαν, διὸ ἀριστήσωμεν.

**Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.**

Κυρίαν σε ἡμῶν καὶ προστάτιν πλουτοῦμεν, τοῦ Ὄρους οἰκισταί, Θεοτόκε Μαρία, χαρὰν καὶ ἀντίληψιν, εὐφροσύνην καὶ στήριγμα, ὅθεν ἅπαντας εἰς Οὐρανῶν Βασιλείαν, συνεισάγαγε, ὅπως ὑμνῶμεν τὴν δόξαν, Υἱοῦ σου Παντάνασσα.

**Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Πατέρες Ὅσιοι οἱ τὸ μαρτύριον, τῆς συνειδήσεως, πρῶτον τελέσαντες, καὶ τὸ ποτήριον ὁμοῦ πιόντες τοῦ μαρτυρίου, νῦν δε παριστάμενοι, τῷ Θεῷ ἐμφανέστερον, πάντας ἀξιώσατε, πληρωτὰς ὑποσχέσεων, γενήσεσθαι ἡμᾶς τοὺς τιμῶντας, τὴν ἱερὰν ὑμῶν πανήγυριν.

www.tezaurliturgic.ro



### Δόξα... Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον.

Τὸν συνάναρχον Λόγον Πατρὸς τιμήσαντες, μὴ δεξάμενοι ὅλως δόγμα τὸ βλάσφημον, ὅτι τὸ Πνεῦμα τὸ εὐθὲς ἐκπορεύεται, καὶ παρ' Αὐτοῦ ὡς ἐκ Πατρὸς ἐκπορευόμενόν ἐστι, τιμᾶσθε νῦν θεοφόροι, Πατέρες οἱ Καρεῶται, τοὺς λατινόφρονας οἱ ἐλέγξαντες.

### Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐργαστήριον ἔχοντες ἁγιότητος, Θεοτόκε τὸ Ὄρος τοῦτο τὸ Ἅγιον, σοῦ δεόμεθα Σεμνὴ ὅπως παράσχῃς ἡμῖν, ἐν πειρασμοῖς ὑπομονὴν καὶ σκοτασμοῦ ἀπαλλαγήν, ἵνα ὀψώμεθα Κόρη, τὸ φῶς Χριστοῦ τοῦ Κυρίου, τοῦ σοῦ παμφώτου Τόκου Πανάχραντε.

### Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐκ τῆς πείρας μαθόντες τὴν πρακτικήν, καὶ τοῦ κόσμου τὸ ἄστατον καὶ φθοράν, γιγνώσκοντες Ὅσιοι, τὸν Χριστὸν μόνον εὕρατε, σταθηρὰν καὶ βεβαίαν ἐλπίδα καὶ ἔρεισμα, ὡς ὁ Παῦλος τὰ πάντα πιστεύοντες σκύβαλα, ἔθεσθε τραχήλους εἰς τομὴν τὴν τοῦ ξίφους, ποθοῦντες τὴν σύστασιν, ὑπὲρ Οὗ ἀπετάγητε, ὅθεν τύπος γεγόνατε, ἡμῶν οἷς πλοῦτον δόξαν πολύν, τῶν λειψάνων δῶρον κατελίπετε, διὸ πόθῳ τιμῶμεν ὑμῶν θείαν ἄθλησιν.

### Δόξα... Τὸ αὐτό.
### Καὶ νῦν... Θεοτοκίον. Ὅμοιον.

Ζωηφόρον Πηγήν σε καὶ χαρμονήν, ἐπιστάμεθα Κόρη οἱ μονασταί, διό σοι προστρέχομεν, ἐμπλησθῆναι σπουδάζοντες, διὰ σοῦ γὰρ Παρθένε Θεὸν ἀνευρίσκομεν, τὸν τὴν μήτραν σου θρόνον Θεότητος δείξαντα, ὅθεν Παναγία, καταξίωσον μένειν, Αὐτὸν εἰς ψυχὰς ἡμῶν, σὺν Πατρὶ καὶ τῷ Πνεύματι, ὅτι Τοῦτον ποθήσαντες, τὸ Ὄρος κατειλήφαμεν πολλῇ, τῇ ἐλπίδι χρώμενοι Μητρόθεε, τῆς πρὸς σὲ συμπαθείας, ἣν πάντοτε δείκνυσι.

www.tezaurliturgic.ro



Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου. Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ...

Εὐαγγέλιον. Ὁσιακόν (τοῦ ἁγίου Σάββα, εἰς τὸν Ὄρθρον).

Ὁ Ν΄, μέθ' ὅν.

Δόξα. Ταῖς τῶν Ὁσιάθλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα τὸ

## Ἰδιόμελον. Ἦχος πλ. β΄

Στίχ. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός...

Ὅσιοι Καρεῶται Πατέρες, ἡ σεπτὴ ὑμῶν ἄθλησις, ἡμᾶς πάντας χαρμοσύνως συνηγάγετο, καὶ πρὸς δοξολογίαν κινεῖ τοῦ Θεοῦ, τοῦ ἐνισχύσαντος ὑμᾶς τὴν ὁμολογίαν τελέσαι. Αὐτὸν ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα· Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ ὁ Κανών τῶν Ὁσιάθλων, οὗ ἡ ἀκροστιχίς· «Ὡς Θεοτόκου κάρυα Καρεοάθλους στέφω. Α» (θανάσιος).

## Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ὡς τῷ φωτί τῷ τρισηλίῳ Ἅγιοι, νῦν παρεστῶτες φωτὶ, τῆς ψυχῆς μου σκότος, λύσατε καὶ οἶκόν με, φωτὸς μεταποιήσατε, ὅπως μέλψω ἐκθύμως, τὰ τῆς ἀσκήσεως σκάμματα, καὶ ὁμολογίας τὴν ἄθλησιν.

Σαλευομένης ἐκ καινῆς αἱρέσεως, τῆς τῶν Λατίνων φημί, Σῶτερ σῆς Ὁλκάδος, ἄγκυραι σωτήριοι, καὶ ἀκριβείας δόγματος, φύλακες οἱ Πατέρες, ἀναφανέντες ἐστήριξαν, τὴν σὴν κληρουχίαν τῷ αἵματι.

Θεολογία ἀληθὴς οὐ πέφυκεν, ἡ τῶν δογμάτων ψιλή, γνῶσις ἀλλ' ὁ βίος ὁ Θεῷ μορφούμενος, καὶ τοῦ Σταυροῦ ὁλόθυμος, ἄρσις ὡς οἱ Πατέρες, τῇ Ἐκκλησίᾳ παρέδωκαν, καὶ ὡς Καρεῶται ἐδίδαξαν.

www.tezaurliturgic.ro



**Θεοτοκίον.**

Εὐλογημένη ἐκ Κυρίου Πάναγνε, ὡς Μήτηρ οὖσα Αὐτοῦ, ἐκ τοῦ Ἀρχαγγέλου ἤκουσας Παρθένε μου, ὑπερευλογημένη δέ, ἐξ ἡμῶν νῦν ἀκούεις, ὅτι εἰς κλῆρόν σου ἅπαντας, νῦν ἡμᾶς συμψύχους συνήθροισας.

Καταβασία. Χριστός γεννᾶται.

**Ὠιδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.**

Ὁμολογίας στυπτικοῖς, τοῖς βέλεσιν κεχρημένοι, τὴν ἀκάθεκτον αἱρέσεως πλάνην, ὡς ἰατροί, στρατιῶταί τε θεῖοι, τὴν Ἐκκλησίαν τηρήσαντες ἄμωμον, καθείλετε καὶ τὸν Σατάν, ἀπεπνίξατε αἵματι Μάρτυρες.

Τὴν κλίμακα τῶν ἀρετῶν, ἀναβαθμοῖς ἀνελθόντες, τὴν τριάδα ἀρετῶν τὴν ὑπάτην, ὡς σωστικήν, κατὰ Παῦλον εὑρόντες, καὶ πάλιν ταύτης ἀγάπην προκρίναντες, θυσία ζῶσα τῷ Θεῷ, εὐοσμίας Πατέρες ἐδείχθητε.

Ὀρθοδοξίας τῷ ζυγῷ, ὀρθοπραξίαν ζευγνύντες, ἠλοήσατε Πατέρες τὸν σῖτον, τὸν καθαρόν, τῶν δογμάτων τὸ βάθος, καὶ ἐξηψήσατε ἄρτον τὸν ἄριστον, τὴν πέτραν ἔχοντες πυράν, καὶ τὸ ξίφος ὡς ξύλα τρισόλβιοι.

**Θεοτοκίον.**

Κάρυα ὄντες μυστικά, οἱ Καρεῶται Πατέρες, ἐκ Καρύας σοῦ ἐβλάστησαν Κόρη, καρύαν γάρ, Ἀαρὼν σε προεῖδε, καὶ ἐκβλαστήσασαν ράβδον Θεόνυμφε, συνήγαγες οὖν ἀληθῶς, τοὺς Πατέρας ὡς κάρυα Δέσποινα.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

**Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Ὑπερέβης ἀληθῶς, πάντα τὰ ὄρη τὸ σεπτόν, ἁγιότητος κλεινόν, ὄρος τοῦ Ἄθωνος ἰδού, ὅτι οὐ μόνον ἀσκήσεως εἶ ὁ στίβος· καὶ αἵματα σεπτά, θυσίαν δέδωκας Θεῷ, Πατέρων εὐκλεῶν, καὶ θείων Ὁμο-

www.tezaurliturgic.ro



λογητῶν, τῶν Καρεῶν τὴν εὐκλεᾶ ἀποδεκάτωσιν, σὺν ἀγελάρχῃ Κοσμᾷ τῷ πάνυ, χαῖρε εὐφραίνου, ὅτι ἡ Χάρις ἐν σοὶ ὑπερεκκέχυται.

## Δόξα. Τό αὐτό.
## Καὶ νῦν... Θεοτοκίον, ὅμοιον.

Φιλοξένησον Ἁγνή, νῦν ἐμφανέστερον Οὓς πρίν, ἐν ἐγκάτοις σου τῆς γῆς, ἐτιθηνήσω μυστικῶς, καὶ γὰρ ψαλοῦσι καὶ αὖθις τὸν ὕμνον, Ἀγγέλου σοι Σεμνή, ἀγλώττως πλὴν ἀληθῶς, τυχόντες ἀκλινοῦς καὶ θείας στάσεως, τῆς Βασιλείας Υἱοῦ σου τοῦ θείου, Ὅνπερ πρεσβείαις σου δεῖξον ἵλεων, ἡμῖν τοῖς ὅσοι, σπουδῇ καὶ πόθῳ, νῦν πρὸς σὲ καταφεύγομεν.

## Ὠιδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Οὐ θεμιτὸν Δέσποτα, πάντη ἀδύνατον, ἑνωθῆναι, τοῖς καινὰ εἰσάγουσι, τῇ παραδόσει τῇ πατρικῇ, ἔφασκον Πατέρες, πικρῶς καταπιεζόμενοι, ἱστάμενοι ἐν πέτρᾳ, τῆς πίστεως βοῶντες, τῇ δυνάμει σου δόξα, Φιλάνθρωπε.

Ὑπακοὴν ἄνομον, οὐ δεδιδάγμεθα, ἐλαττοῦσαν, τὴν ὀρθὴν εὐσέβειαν, ἀλλ' ἀκριβῶς εὐαγγελικοῖς, δόγμασι στοιχοῦντες, σῳζόμεθα ὡς πιστεύομεν, μηδόλως οὖν ἐλπίζῃς, ἰταλοσυμφωνία, παραχαράξαι τὴν παράδοσιν.

Κάλλιον ἦν, κάλλιον, στερηθῆναι τοῦ φωτὸς τὴν πρόσκαιρον ἀναλαμπὴν ἢ ἀληθινοῦ, φωτὸς ἀστοχῆσαι, διὸ εἴ τι θέλεις ποίησον, ξιφούλκησον καὶ τέμνε, Χριστοῦ τῆς ἀληθείας, οὐκ ἂν ἀπέστημεν τὸ σύνολον.

## Θεοτοκίον.

Ἁγιασμὸν Πάναγνε, δώρησαι τέκνοις σου, Θεοτόκε Πύλη ἁγιάσματος ἢ τοὺς κλεινοὺς τούτους Ἀθλητάς, στέψασα στεφάνοις, ἁγνείας ὁμολογίας τε, ἵνα ὁμόσε πάντες, ἐκβοῶμεν Υἱῷ σου, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

www.tezaurliturgic.ro



Καταβασία. Ράβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

## Ὠιδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ρεῦμα στήσαντες πλάνης, βεβηλούσης τὰ θεῖα Πατέρες Ὅσιοι, ῥεύμασιν αἱμάτων, ἐκχυθεῖσιν ὡς ὕδωρ καθάρσιον, Ὀρθοδόξων κλέος, καὶ ὑποτύπωσις ἀρίστη, τῶν θελόντων Κυρίῳ πορεύεσθαι.

Ὑψαυχένων ληρώδη, καταπτύσαντες ἀκαταιτίατα, ἐξ Ἐῴας γνῶθι, Βασιλεῦ ἡμῶν ἔσται ἡ λύτρωσις, ἔφητε Πατέρες, διὸ βασάνοις ὑπαχθέντες, μὴ προδόντες κυσὶ τὰ πανάγια.

Ἀζυμῖται οὐδόλως, γενησόμεθα οὐδὲ συμφώνησιν, ἕξωμεν πρὸς τούτους, ἡμεῖς Ἄρτον γνωρίζοντες Κύριον, ἄρτῳ τὴν Θυσίαν, τὴν λογικὴν ἐπιτελοῦμεν, ὑπὲρ Ἧς καὶ προθύμως τεμνόμεθα.

## Θεοτοκίον.

Κυκλουμένην παντοίοις, τὴν ψυχήν μου Παρθένε ὁρμήσασι, τῇ γλυκείᾳ κλήσει, σοῦ Ὀνόματος χρῶμαι ἀλέξημα, ἵνα μὴ τῇ πλάνῃ τῶν ἐπικήρων ἀστοχήσω, τοῦ Χριστοῦ μου τῆς θείας συστάσεως.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

## Ὠιδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἀπόστητε Βασιλεῦ, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, αἱρέσεως μολυσμοῦ, οἱ Πατέρες ἔκραζον, ἡμεῖς γὰρ εὐθύνομεν, τρίβους τοῦ Κυρίου, ἀπ᾿ αὐτῶν οὐ μὴ ἐκκλίνωμεν.

Ῥημάτων καινοφανῶν, ψυχολετῆρας γινώσκοντες, Λατίνων τοὺς ἀρχηγούς, τούτοις οὐ συγχρώμεθα, τίς γὰρ ἡ συμφώνησις τοῦ Χριστοῦ πρὸς σκότος, οὗ μερίδος λυτρωθείημεν.

Εἰρήνης οἱ μαθηταί, πρὸς Εἰρηνάρχην ἐφθάσατε, δυνάμεις τὰς ἐν ὑμῖν πάσας εἰρηνεύσαντες, διὰ ξιφοτμήσεως, ὅθεν τὴν εἰρήνην, τοῖς ὑμνοῦσι νῦν δωρήσασθε.

www.tezaurliturgic.ro



## Θεοτοκίον.

Οὐ μόνον ἐπιφανεῖς, καυχῶνται πόλεις γεννήσασαι, Μαρτύρων πληθὺν καὶ σύ, Θεοτόκου σκήνωμα, ἔχεις νῦν τοὺς Μάρτυρας, δι' Οὓς ἐν Κυρίῳ, ἐγκαυχῶ καὶ ἀγαλλίασαι.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

## Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ὀρθοδοξίας τὰ καινὰ ἐγκαλλωπίσματα,
ἐκθρεψαμένη Καρεῶν Σκήτη καυχήθητι,
ἐν Κυρίῳ γὰρ καυχᾶσθαί σε νῦν ἐμπρέπει·
τὸ δὲ Ὄρος τὸ τοῦ Ἄθω ἐγκοσμούμενον,
ἐπὶ πλέον τοῖς ὡς τοῦδε ἐκβλαστήμασι,
νῦν κραυγάσατε· χαίροις δόξα Μαρτύρων μου.

## Ὁ Οἶκος.

Ἀνάστα προφητικῶς, ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου, τὸ ἐν Ἄθῳ ἁγιόλλεκτον σύνταγμα, καὶ χαρμοσύνως θέασαι πῶς ἐκαθαριώθησαν ναζιραῖοί σου Καρεῶται ὑπὲρ χιόνα. Πῶς πολυειδέσι βασάνοις ὑποβληθέντες ἔλαμψαν ὑπὲρ γάλα. Πῶς τῇ ἀληθείᾳ δουλεύοντες, ὑπὲρ λίθους σαπφείρου ἐπυρρώθησαν. Πῶς τῇ Ὀρθοδοξίᾳ ναματοποτισθέντες, ὑπὲρ Αὐτῆς ἐτελειώθησαν.
Καὶ τὰς χεῖράς σου εὐχαρίστως ᾆρον πρὸς Κύριον καὶ ἀνασάλπισον τούτῳ μεταμορφούμενος·
χαίροις δόξα Μαρτύρων μου.

Καὶ τὸ Συναξάριον, πρῶτον τὸ παρὸν καὶ εἶτα τὸ τοῦ Μηναίου.

Τῇ ε' τοῦ αὐτοῦ μηνός, τὴν σύναξιν ἑορτάζομεν τῶν ἐπὶ Βέκκου ἐν Καρυαῖς ὁμολογησάντων καὶ ὑπὲρ τῆς Ὀρθοδοξίας ἀθλησάντων ξίφεσί τε καὶ ἀγχόνῃ Ὁσίων Πατέρων ἡμῶν, οἳ μὴ θελήσαντες συγκοινω-

www.tezaurliturgic.ro



νῆσαι καὶ συμφρονῆσαι τοῖς Λατινόφροσι, τὸ μαρτυρικὸν στέφος ἐδέξαντο, σὺν τῷ Πρώτῳ ἁγίῳ Κοσμᾷ.

## Στίχοι.

### Εἰς τοὺς Πατέρας.

Ἔχει Μάρτυρας Ἐκκλησία παντί που,
Ἔχει Καρεῶν καὶ ἡ Σκήτη αἱμάθλους.

Ἄλλοι ξίφεσιν, ἕτεροι δὲ ἀγχόνῃ,
πρὸς Θεὸν ὁμοῦ ἀνέπτητε Πατέρες.

### Εἰς τὸν Πρῶτον.

Βακτηρίαν εἶχες πρὶν τὴν ξυλίνην ὡς σκῆπτρον,
νῦν Κοσμᾶ ἐμπρώτευσον εἰς Χριστοῦ Βασιλείαν.
Πέμπτῃ ὁμόσε χώρησεν πληθὺς Ὁσιάθλων.

Καὶ τὸ παρὸν ὑπόμνημα.

Τῆς τῶν Ρωμαίων ἀρχῆς τὰ σκῆπτρα Μιχαὴλ τοῦ Η´ τοῦ Παλαιολόγου, τοῦ Ἀζυμίτου, κρατοῦντος καὶ τοῦ Οἰκουμενικοῦ Θρόνου τὰ ἡνία τοῦ λατινόφρονος, φεῦ!,Ἰωάννου τοῦ Βέκκου κατέχοντος, μέγας τε καὶ ζοφώδης σάλος ἠγέρθη ἐπὶ τῇ γενομένῃ προσπαθείᾳ παρ᾽ ἀμφοτέρων, ἵνα τὰ ἄμικτα μίξωσι καὶ τοῖς καθαροῖς τὰ ρερυπωμένα ἑνώσωσι, βίᾳ ἐπιβάλλοντες τὴν ἕνωσιν τῶν αἱρετικῶν παπολατρῶν δυτικῶν μετὰ τῆς Ὀρθοδόξου καθ᾽ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ καὶ Καθολικῆς Ἐκκλησίας, ἀφ᾽ ἧς ἐκεῖνοι κούφως ἀπεσχίσθησαν. Τότε οὖν, πολλῶν εὐθυφρονούντων ὡς ταῖς πατρικαῖς παραδόσεσιν ἐντεθραμμένων ἔκ τε τῶν ἐκκλησιαστικῶν καὶ τῶν λαϊκῶν καὶ τῇ τοιαύτῃ γνώμῃ καὶ βουλῇ ἀντιταχθέντων, διωγμὸς ἐκινήθη, ὅπως πάσῃ δυνάμει ἐπιτευχθῇ ἡ βέβηλος αὕτη καὶ ἀνούστατος ἕνωσις. Ἐξαιρέτως δὲ οἱ μονάζοντες ἐν Βασιλευούσῃ, τῷ τε Γαλλησίῳ ὄρει καὶ δὴ τῷ τοῦ Ἄθωνος, ἐγγράφως τε καὶ παρρησίᾳ τοὺς πρωτάρχας τῆς τοιαύτης ἀνομίας ἐλέγξαντες, πολυειδέ-

www.tezaurliturgic.ro



σι βασάνοις καθυπεβλήθησαν καὶ πολλοὶ καὶ τοῦ μαρτυρίου ἐπέτυχον. Ἐν δὲ τῷ προπυργίῳ τῆς Ὀρθοδοξίας, τῷ Ἁγιωνύμῳ τούτῳ Ὄρει καὶ τῆς Θεοτόκου κλήρῳ, πλήθη λατινοφρόνων στρατευμάτων ἐπέδραμον ὥστε εἰ δυνατὸν καταπεῖσαι τοὺς ἐνταῦθα ἀσκουμένους Πατέρας λατινῖσαι. Πλὴν μάτην ἔδραμον, ὅτι πλὴν ὀλιγίστων τῷ φόβῳ ὑπαχθέντων τῇ τῶν αἱρετικῶν κοινωνίᾳ, οἱ πολλοὶ ἑδραῖοι ἔμενον τῇ παραδοθείσῃ πίστει. Ἐλθόντες οὖν καὶ εἰς τὴν περιώνυμον Σκήτην τῶν Καρεῶν, τὴν ἄρχουσαν τοῦ Ἄθω παντός, καὶ εὑρόντες ὡς στερέμνια τείχη Ὀρθοδοξίας τόν τε τότε Πρωτεύοντα Ὅσιον Κοσμᾶν, ὡς καὶ τοὺς ἐν τῇ Σκήτῃ παραμείναντας λοιποὺς Πατέρας, βίᾳ ἐσκόπουν τούτους ἀναγκάσαι τὰ τῶν ἰταλοφρονούντων φρονῆσαι καὶ τὰ τῆς ψευδενώσεως καθυπογράψαι. Μὴ τυχόντες οὖν τοῦ ποθουμένου, τὸν μὲν Πρῶτον Ὅσιον Κοσμᾶν ἀγχόνῃ ἀπηώρησαν, τοὺς δὲ λοιποὺς Πατέρας ξίφει ἀπέτεμον, ὡς τοῦτο ἄχρι τῆς σήμερον τεκμηριοῖ ὁ σωζόμενος μαρμάρινος λίθος. Καὶ τὸν περίκλυτον Ναὸν τοῦ Πρωτάτου πυρπολήσαντες καὶ τὰ Κελλία πάντα καταληστεύσαντες, ἀπῆλθον, ἀφέντες τὰ τίμια λείψανα τῶν Ὁσιάθλων βορὰν τοῖς θηρσὶν τοῦ δρυμοῦ καὶ τοῖς κόραξι τοῦ οὐρανοῦ. Μόλις δὲ μετὰ τὴν τῶν Χριστοῦ Γεννῶν μεγίστην ἑορτὴν ταῦτα ταφῆς κατηξιώθησαν, παρὰ τῶν ἐν τῷ μεταξὺ ἐπαναστρεψάντων οἴκαδε τὸ πρὶν ἀποκρυβέντων Καρεωτῶν μοναχῶν. Τούτων τὰ ἅγια λείψανα εὑρέθησαν τεθαμμένα κύκλωθεν τῶν θεμελίων τοῦ Ἱεροῦ τοῦ Πρωτάτου Ναοῦ, κατὰ τὴν γενομένην τὸ σωτήριον ἔτος ͵αϡνγ΄ ἀνακαίνισιν αὐτοῦ. Τὸ δὲ τοῦ Ὁσιάθλου Κοσμᾶ τοῦ Πρώτου, τοῦ ἀπὸ τῆς μονῆς τοῦ Πλακᾶ ἕλκοντος τὴν μοναχικὴν καταγωγήν, θείᾳ νεύσει ἀνεκόμισεν ἡ τοῦ Ἁγιωνύμου Ὄρους Ἱερὰ Κοινότης τῇ ιη΄ Νοεμβρίου ͵αϡπα΄ σωτηρίου ἔτους, Πρωτεύοντος τοῦ ἐκ τῆς Ἱερᾶς Μονῆς τοῦ Βατοπαιδίου Πανοσιολογιωτάτου Προηγουμένου Ματθαίου.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ἄμωμοι ὡς προκαθαρθέντες, δακρυρρόοις τε καὶ πενθικοῖς ἀγῶσιν, ἐλαμπρύνθητε νῦν, Πανόσιοι Πατέρες, ὑπὲρ χρυσὸν καὶ σάπφειρον, τῇ τοῦ αἵματος προσχύσει.

www.tezaurliturgic.ro



Θεωρίας ἐπίβασις ἡ πρᾶξις, ὅπερ ἔγνωτε Πατέρες συνθανόντες, καὶ συσταυρούμενοι Χριστῷ προσωμοιώθητε, πρότερον ἀσκήσει καὶ τέλος διὰ ξίφους, πιστώσαντες τὸν λόγον.

Λυκωνύμους οὐ μὴν καὶ λυκοτρόπους, τὸ Μαρτύριον ἀπέδειξε Λατίνους, ὑμᾶς τεμόντας ὦ τρισόλβιοι, καὶ θηρσὶν ἀγρίοις, τὰ σώματα ἐκθέντας, ὡς ὁ Προφήτης λέγει.

### Θεοτοκίον.

Οὐρανός τις ὡς ἄλλος ὦ Παρθένε, ὁ πανένδοξος ναὸς ὁ τοῦ Πρωτάτου, ἐχαρίσθη ἡμῖν, φυλάττων ἐν ταμείοις, τῶν Ὁσιάθλων λείψανα, ἃ τιμῶμεν προσκυνοῦντες.

Καταβασία. Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.

### Ὠιδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ὑπερηφάνου ἄνακτος, συνετρίβη ἡ οἴησις, τῶν ἀζυμιτῶν ἐπιβαλεῖν τὸ φρόνημα, πρὸς ὃν ταπεινώσεως, λόγοις σοφοῖς συνέφητε· μὴ ὦ βασιλεῦ τὰ ἀκίνητα κίνει, ἀλλὰ τῇ παραδόσει, τῶν Πατέρων προσμένων, ἐξ ὕψους σωτηρίαν καὶ εὐλογίαν ἕξεις.

Στάντες στερρῶς ὡς ἄκμονες, ταῖς βασάνοις τυπτόμενοι, ξίφη τοῦ Θεοῦ θερίζοντα αἵρεσιν, Κοσμᾶ Πρῶτε τίμιε, σὺν τοῖς σεπτοῖς συμψύχοις σου, ἔφυτε χαλκεῖς γάρ, τοὺς Λατίνους εὑρόντες, πρὸς οὓς ἀντεβοᾶτε, εἰ καὶ ξίφεσι χρᾶσθε, Τριάδα προσκυνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Στράτευμα θεοσύλλεκτον, εἰ καὶ μέλαν φωτόλουστον, ἄγγελοι καθάπερ, τὸ ὑμῶν συνάθροισμα, Πατέρες Πανόσιοι, ἐνθεωρεῖται πάντες γάρ, τῆς μιᾶς πατρίδος, νόστον ἔχοντες πίστει, εἰς σκάφος Ἐκκλησίας, συνηγμένοι τῇ αὔρᾳ, τοῦ θείου Παρακλήτου, ἀνήχθητε εἰς ταύτην.

www.tezaurliturgic.ro



## Θεοτοκίον.

Τίμια δῶρα πάναγνα, τοὺς Πατέρας προσφέρω σοι, ἐπὶ τῇ Γεννήσει τοῦ Υἱοῦ σου Πάναγνε, οὓς δέχου ὡς κάρπωμα, φιλοθεΐας Δέσποινα, καὶ τῶν χαρισμάτων τὴν πληθὺν διανέμοις, τοῖς τέκνοις σου ἑκάστῳ, ὡς οἶσθα τὸ συμφέρον, ὁ Ἄθως ἀνακράζει, τῇ Θεοτόκῳ Κόρῃ.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

## Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Εἰργάσασθε προθύμως εἰς ἀρετῆς, ἀμπελῶνα Πατέρες θεόσοφοι καὶ τὸν μισθόν, παρὰ τοῦ Κυρίου χαροποιῶς, ἐδέξασθε τὸν στέφανον, τῆς ὁμολογίας ὑπὲρ Αὐτοῦ, Ὃν νῦν ἐκδυσωπεῖτε, τὴν ἄφεσιν δοθῆναι, πλημμελημάτων ὧν περ πράττομεν.

Φωτὸς ἀκτίστου ἔχοντες μετοχήν, καταλάμψατε σκότος βαθύτατον ὅπερ ψυχάς, νῦν ἐπαπειλεῖ προσκαταλαβεῖν, καὶ δότε φωτοείδειαν, ἵνα τοῦ προσώπου τοῦ Ἰησοῦ, γενώμεθα ἐπόπται, καὶ τούτου Βασιλείας, συμμετασχεῖν Πατέρες Ὅσιοι.

Ὢ θεία Θεοτόκου παρεμβολή, Ὁσιάθλων χορὸς παναοίδιμος οἱ τοῖς θηρσίν, ἀφεθέντες βρῶσις καὶ οὐρανοῦ, τοῖς κόραξιν κατάβρωμα, ὡς κληρονομήσαντες ἀσφαλῶς, ἀσύλως τε τὴν ἄνω, καὶ ἄφθαρτον νῦν στάσιν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύετε.

## Θεοτοκίον.

Ἀμώμητε Παρθένε ταῖς προσευχαῖς, Ὁσιάθλων προσδέχου καὶ πρόσφερε τῷ σῷ Υἱῷ, ὅπως Ἐκκλησίας ὀρθοδοξῇ, τὸ πλήρωμα καὶ αἵρεσιν, ἐκποδὼν γενέσθαι, ἵνα σωθῇ, λαός σου ὃς ὑμνεῖ Σου, τὸ ὕψος καὶ τὴν δόξαν, καὶ μεγαλύνει Σε Θεόνυμφε.

Καταβασία. Μεγάλυνον ψυχή μου. Μυστήριον ξένον.

www.tezaurliturgic.ro



## Ἐξαποστειλάριον.
## Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸν λίθον τῆς ἀθλήσεως, ἐνορῶντες Πατέρες, τὸ ξίφος τὴν ἀγχόνην τε, καὶ βασάνους μυρίας, θαυμάζομεν ἀνυμνοῦντες, τὸν Θεὸν Ὃς παρέσχεν, ὑπομονὴν σοφίαν τε, σοὶ Κοσμᾷ τῷ Πρωτάθλῳ καὶ τοῖς λοιποῖς, Καρεώταις ὅσοι ὁμολογίᾳ, Τριάδα ἐκηρύξατε, ἐναντίον Λατίνων.

## Θεοτοκίον, ὅμοιον.

Τὸν κλῆρόν σου τιμήσαντες, Θεοτόκε Παρθένε, Πατέρες οἱ θεόστεπτοι, διὰ τῆς μαρτυρίας, τῆς πίστεως γεγονότες, ὑποδείγματα θεῖα,νῦν χαίρουσι κατέχοντες, τοὺς στεφάνους τῆς νίκης, οὓς Σὸς Υἱός, δέδωκε βραβεῖα ὁμολογίας, ἀξίως ὧν περ ἔπαθον, καὶ δι' ἃ ἐγκαυχῶνται.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

## Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Σήμερον φαιδρὰ πανήγυρις, ἡ τῶν Πατέρων πληθύς, Ὁσιάθλων συνήγαγε μοναστῶν τὸ ἄθροισμα, ἑορτάσαι χαρμόσυνα, τὴν τούτων μνήμην καὶ σεπτὴν ἄθλησιν, ὑπὲρ δογμάτων ὀρθῶν τῆς πίστεως· δεῦτε προσπέσωμεν καὶ κατασπασώμεθα τὰ ἱερά, λείψανα ἃ προὔθεντο, εἰς στηριγμὸν τῶν ψυχῶν.

Ὡς ἐκαλλιώθη Ἄχραντε, κλῆρος ὁ σὸς μυστικῶς, ἐντυχὼν τῆς προσθέσεως, ἀθλητῶν τοῦ αἵματος, διὰ Πίστιν τὴν ἄμωμον. Ἔχων ἐν μέσῳ Κοσμᾶν τὸν Πρώταθλον, κεκοσμημένον ἀπὸ τοῦ Πνεύματος. Ὅθεν ἐγκύπτοντες τούτων εἰς μαρτύριον τὸν Ἰησοῦν, ἅπαντες δοξάζομεν, αὐτοὺς δοξάσαντα.

Χαίρει Ἐκκλησία σήμερον, πορφυρωθεῖσα σεπτῶς, ἐξ αἱμάτων Πανόσιοι, ἅπερ ἐξεχέατε δι' ἀγάπην Καλέσαντος, ὑμᾶς εἰς κλῆσιν τὴν Χριστομίμητον, ἐν ᾗ μαθόντες ὅτι δι' αἵματος, Πνεῦμα προσκτώμε-

www.tezaurliturgic.ro



θα, χαρισμάτων δίδοται δὲ ὁρμαθός, δίψει ἐχωρήσατε, πρὸς τὸ μαρτύριον.

Νοῦν καθηράμενοι πρότερον, ἀδιαλείπτῳ εὐχῇ, φύσιν ἄλλην ἐκτήσασθε, ἀρετὴν. πανόλβιοι, δι' ἧς ὄντως θεούμεθα· καὶ κατὰ γράμμα τὸν λόγον δεξάμενοι, συσταυρωθέντες Χριστῷ δι' ἀθλήσεως, νῦν ἀπολαύετε, ἅπερ νοῦς ἀνθρώπειος οὐκ ἐξαρκεῖ, ὅλως διηγήσασθαι, ὡς Παῦλος ἔφησεν.

## Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Ὀρθοδόξων τὰ πλήθη, τοὺς Ὁμολογητὰς τῆς πίστεως τιμῶμεν, Πατέρες τρισόλβιοι. Ὑμεῖς γὰρ σωφρόνως, τῇ ἀληθείᾳ στοιχοῦντες, τὴν λατινίδα αἵρεσιν ἠλέγξατε. Καὶ ταῖς βασάνοις μὴ ἐνδόντες, τῷ μαρτυρίῳ ἐνηθλήσατε. Ὅθεν, ὡς εὐσεβείας ἔχοντες θεόγραφα πρότυπα, στομούμεθα χαίροντες καὶ ὁμολογίας εἰκόνας, τῇ Ἐκκλησίᾳ ὀχυρούμεθα. Τὰ δὲ τίμια Λείψανα κατασπαζόμενοι, τὸν ἐν Τριάδι Θεὸν δοξάζομεν, τὸν ὑμᾶς δοξάσαντα. Ὧ καὶ μὴ παύσησθε πρεσβεύειν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Καὶ νῦν, προεόρτιον, ἦχος ὁ αὐτός.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ Φάτνη. Τὸ Σπήλαιον δεχέσθω, ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε, καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς καὶ θεώσας τὸ πρόσλημμα. Διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



Εἰς τὴν Λειτουργίαν. Τυπικά, Μακαρισμοί, γ΄ καὶ στ΄ ᾠδή.
᾿Απόστολος, ζήτει τῇ β΄ Σεπτεμβρίου.
Εὐαγγέλιον, ζήτει τῇ στ΄ Νοεμβρίου.
Κοινωνικόν, Εἰς μνημόσυνον αἰώνιον.

**Στίχοι.**

Δέχου Πατέρων πληθὺς τὸ ψέλλισμά μου
καὶ δὸς τὴν Χάριν τοῦ Πνεύματος εὐχαῖς σου.

